# AESOPI FABVLAE (XV)

## 140-ΚΩΝΩΨ ΚΑΙ ΤΑΥΡΟΣ

κώνωψ ἐπιστὰς κέρατι ταύρου καὶ πολὺν χρόνον ἐπικαθίσας ἐπειδὴ[1] ἀπαλλάττεσθαι ἔμελλεν, ἐπυνθάνετο τοῦ ταύρου, εἰ ἤδη βούλεται αὐτὸν ἀπελθεῖν. ὁ δὲ ὑποτυχὼν ἔφη· «ἀλλ' οὔτε, ὅτε ἦλθες, ἔγνων οὔτε, ἐὰν[2] ἀπέλθῃς, γνώσομαι. »

τούτῳ τῷ λόγῳ χρήσαιτο ἄν[3] τις πρὸς ἄνδρα ἀδύνατον, ὃς οὔτε παρὼν οὔτε ἀπὼν ἐπιβλαβὴς ἢ ὠφέλιμός ἐστι.

---

[1] **ἐπειδὴ.** Advebio que introduce subordinadas temporales-causales

[2] **ἐὰν. Subordinador que introduce condicionales eventuales; está formado por** εἰ+ ἄν. **Lleva subjuntivo**

[3] **χρήσαιτο ἄν.** Optativo de aoristo medio con partícula modal; tiene valor potencial: (τις) *podría usar.* Régimen en dativo